ὁ θεός μου, μὴ παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ,
μήποτε παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ
καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
2 εἰσάκουσον τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ δέεσθαί με
πρὸς σέ,
ἐν τῷ με αἴρειν χεῖράς μου πρὸς ναὸν ἅγιόν σου.
3 μὴ συνελκύσῃς μετὰ ἁμαρτωλῶν τὴν ψυχήν μου
καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με
τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν,
κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.
4 δὸς αὐτοῖς κατὰ τὰ ἔργα αὐτῶν
καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν·
κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς,
ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.
5 ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα κυρίου
καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ·
καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.
6 εὐλογητὸς κύριος, ὅτι εἰσήκουσεν τῆς φωνῆς τῆς δεήσεώς μου.
7 κύριος βοηθός μου καὶ ὑπερασπιστής μου·
ἐπ᾽ αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην,
καὶ ἀνέθαλεν ἡ σάρξ μου·
καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.
8 κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ
καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστιν.
9 σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου
καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

28 ΚΗʹ

1 Ψαλμὸς τῷ Δαυιδ· ἐξοδίου σκηνῆς.
Ἐνέγκατε τῷ κυρίῳ, υἱοὶ θεοῦ,
ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν,
ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν,
2 ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ,
προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.
3 φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων,
ὁ θεὸς τῆς δόξης ἐβρόντησεν,
κύριος ἐπὶ ὑδάτων πολλῶν.
4 φωνὴ κυρίου ἐν ἰσχύι,

$1^{2.3}$ απ εμου bis] επ εμοι B† || $2^1$ εν τω δε. με] ης εκεκραξα A†: ex 26 7 | $2^2$ με αιρειν] tr. A, με > S† | προς] εις BS† || $3^1$ μετα αμ. την ψυχην μου] με μετα αμ. S | $3^2$ εργαζ.] pr. ανδρων S† | αδικιαν] την ανομιαν S, nihil nisi την A† || $4^3$ αυτων > A† || $9^2$ του > S